πάντων εἰς τὴν ἀγοράν· ἐπεὶ δὲ πάντῃ οἱ πολέμιοι κατεῖχον,
οὐδὲν ἔχοντες ὅ τι ποιήσαιεν, παρέδοσαν σφᾶς αὐτούς.
καὶ οὗτοι μὲν ἀπεπέμφθησαν εἰς Ἀθήνας, καὶ ὁ Κοιρατάδας 22
ἐν τῷ ὄχλῳ ἀποβαινόντων ἐν Πειραιεῖ ἔλαθεν ἀποδρὰς καὶ
ἀπεσώθη εἰς Δεκέλειαν.

Φαρνάβαζος δὲ καὶ οἱ πρέσβεις τῆς Φρυγίας ἐν Γορδείῳ IV
ὄντες τὸν χειμῶνα τὰ περὶ τὸ Βυζάντιον πεπραγμένα
ἤκουσαν. ἀρχομένου δὲ τοῦ ἔαρος πορευομένοις αὐτοῖς 2
παρὰ βασιλέα ἀπήντησαν καταβαίνοντες οἵ τε Λακεδαι-
μονίων πρέσβεις Βοιώτιος [ὄνομα] καὶ οἱ μετ' αὐτοῦ καὶ
οἱ ἄλλοι ἄγγελοι, καὶ ἔλεγον ὅτι Λακεδαιμόνιοι ὧν δέονται
πάντων πεπραγότες εἶεν παρὰ βασιλέως, καὶ Κῦρος, ἄρξων 3
πάντων τῶν ἐπὶ θαλάττῃ καὶ συμπολεμήσων Λακεδαιμονίοις,
ἐπιστολήν τε ἔφερε τοῖς κάτω πᾶσι τὸ βασίλειον σφράγισμα
ἔχουσαν, ἐν ᾗ ἐνῆν καὶ τάδε· Καταπέμπω Κῦρον κάρανον
τῶν εἰς Καστωλὸν ἁθροιζομένων. τὸ δὲ κάρανον ἔστι κύριον.
ταῦτ' οὖν ἀκούοντες οἱ τῶν Ἀθηναίων πρέσβεις, καὶ ἐπειδὴ 4
Κῦρον εἶδον, ἐβούλοντο μὲν μάλιστα παρὰ βασιλέα ἀνα-
βῆναι, εἰ δὲ μή, οἴκαδε ἀπελθεῖν. Κῦρος δὲ Φαρναβάζῳ 5
εἶπεν ἢ παραδοῦναι τοὺς πρέσβεις ἑαυτῷ ἢ μὴ οἴκαδέ πω
ἀποπέμψαι, βουλόμενος τοὺς Ἀθηναίους μὴ εἰδέναι τὰ
πραττόμενα. Φαρνάβαζος δὲ τέως μὲν κατεῖχε τοὺς πρέσ- 6
βεις, φάσκων τοτὲ μὲν ἀνάξειν αὐτοὺς παρὰ βασιλέα, τοτὲ
δὲ οἴκαδε ἀποπέμψειν, ὡς μηδὲν μέμψησθε· ἐπειδὴ δὲ 7
ἐνιαυτοὶ ἦσαν τρεῖς, ἐδεήθη τοῦ Κύρου ἀφεῖναι αὐτούς,
φάσκων ὀμωμοκέναι καὶ ἀπάξειν ἐπὶ θάλατταν, ἐπειδὴ οὐ
παρὰ βασιλέα. πέμψαντες δὲ Ἀριοβαρζάνει παρακομίσαι
αὐτοὺς ἐκέλευον· ὁ δὲ ἀπήγαγεν εἰς Κίον τῆς Μυσίας, ὅθεν
πρὸς τὸ ἄλλο στρατόπεδον ἀπέπλευσαν.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415836522/23 UNIVERSITÄT LEIPZIG